τὰ βλεπόμενα. καὶ ἀμβλυώωσεν, ἀμβλὺν ἐποίησεν, ἠχρείωσεν. A

Σχόλια. Ταλαοί.] ὡς τληπαθεῖς καὶ τὰ καθημερινὰ εἰδότες. μὴ προορώμενοι δὲ τὰ μέλλοντα. ἔνιοι δὲ, τὸ ταλαοὶ διαιροῦσιν ὥς τε εἶναι ἀλαοί.

Bisetus. Εἰκελόνειροι.] τοῖς ὀνείροις εἴκελοι, τουτέστιν ὅμοιοι. Σοφ. Ἠλέκτρα.

Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
Εἴδωλ' ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.

Πίνδαρος ἐν Πυθίοις ᾠδῇ η.
Ἐπάμεροι. τί δέ τις; τί δ' οὔ τις;
Σκιᾶς ὄναρ ἄνθρωποι.

Σχόλια. Φύσιν] καλῶς εἶπε φύσιν οἰωνῶν. γένεσιν δὲ θεῶν. Προδίκῳ παρ' ἐμοῦ] μέμνηται τοῦ Προδίκου καὶ ἐν Νεφέλαις. οὐκ ὀρθῶς δὲ Καλλίμαχος ἐν τοῖς ῥήτορσι καταλέγει. σαφῶς γὰρ ἐν τούτοις φιλόσοφος. Χάος ἦν καὶ νύξ.] ταῦτα οὐκ ἀναγκαῖον ἀπευθύνειν, πρὸς τὰ Ἡσιόδου ἢ πρός τινα ἄλλου τινὸς γενεαλογίας.

B Τίκτει πρώτιστον ὑπηνέμιον νὺξ ἡ μελανόπτερος ὠόν·
Ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός,
Στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.
Οὗτος δὲ χάει πτερόεντι μιγεὶς νυχίῳ, κατὰ τάρταρον εὐρὺν,
Ἐνεόττευσε γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν ἐς φῶς. C
Πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως συνέμιξεν ἅπαντα.
Ξυμμιγνυμένων δ' ἑτέρων ἑτέροις, γένετ' οὐρανὸς, ὠκεανός τε.
Καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον. ὧδε μὲν ἐσμὲν
Πολὺ πρεσβύτατοι πάντων μακάρων. ἡμεῖς δ' ὡς ἐσμὲν Ἔρωτος D
Πολλοῖς δῆλον. πετόμεσθά γε καὶ τοῖσιν ἐρῶσι σύνεσμεν.
Πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας, πρὸς τέρμασιν ὥρας
Διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν, διεμήρισαν ἄνδρες ἐρασταί.
Ὁ μὲν, ὄρτυγα δούς. ὁ δὲ πορφυρίων'. ὁ δὲ χῆν'. ὁ δὲ περσικὸν ὄρνιν. E
Πάντα δὲ θνητοῖς ἐστιν ἀφ' ἡμῶν τῶν ὀρνίθων τὰ μέγιστα.
Πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς ἦρος, χειμῶνος, ὀπώρας.
Σπείρειν μὲν, ὅταν γέρανος κρώζουσ' ἐς τὴν Λιβύην μεταχωρῇ,
Καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάσαντι καθεύδειν.
Εἶτα δ' Ὀρέστῃ χλαῖναν ὑφαίνειν, ἵνα μὴ ῥιγῶν ἀποδύῃ. F
Ἰκτῖνος αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀποφαίνει.
Ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν. εἶτα χελιδών,

*Parit primùm ventosum nox nigra pennas ovum,*
*Ex quo perfectis temporibus pullulauit amor desiderabilis,*
*Splendidus humero, alis aureis, similis ventosis velociter volutionibus.*
*Hic autem chao alato mixtus, nocturno in tartaro lato*
*Fecit genus nostrum, & primùm reduxit in lucem.*
*Prius autem non erat immortalium, antequam amor commiscuit omnia.*
*Commixtis autem alteris alteris, factum est cælum, oceanusque,*
*Et terra, omniumque deorum beatorum genus incorruptibile, sic quidem sumus*
*Multo antiquißimi omnium beatorum: nos autem quod sumus amoris,*
*Multis manifestum, volamus, & amantibus consumus.*
*Multos autem bonos abiuratos pueros ad fines temporis*
*Per potentiam nostram, diuiserunt viri amatores.*
*Hic quidē coturnicē dās, ille autē porphyrionem: alius autem anserem, alius autem persicum.*
*Omnia autem mortalibus sunt à nobis auibus maxima.*
*Primùm quidem tempora ostendimus nos veris, hyemis, autumni.*
*Seminare quidem quando grus crocitans in Libyam decedit,*
*Et temonem tunc nauclero dicit suspendenti dormire.*
*Postea autem Oresti chlænam texere, vt non frigens spoliet.*
*Miluius iterum post hæc apparens, aliud tempus ostendit,*
*Quando tondere tempus ouium vellus vernum. postea hirundo*

Σχόλια. Τίκτει πρώτιστον ὑπηνέμιον] ὑπηνέμια καλεῖται τὰ δίχα συνουσίας καὶ μίξεως, καὶ τοῦτο δὲ οὐχ ὡς ἔτυχεν αὐτῷ προσέρριπται, ἀλλὰ ἀπὸ ἱστορίας τῆς κατὰ τοὺς Διοσκούρους φασὶ γὰρ αὐτοὺς ἐξ ᾠοῦ γεγονέναι. καὶ ὅτι σύνηθες αὐτοῖς μᾶλλον ἀνεμίδιον λέγειν, καὶ Πλάτων ἐν Θεαιτήτῳ, γόνιμον ἀνεμίδιον τυγχάνει. Εἰκὼς ἀνεμώκεσι δίναις] ταῖς τοῦ ἀνέμου ὠκείαις συστροφαῖς ἐοικὼς διὰ τάχος. ἡ δὲ ὅλη σύστασις. ὅτι ἐκ τοῦ πτεροῦ τοῦ ἔρωτος G τὰ ὄρνεά ἐστιν. ἀτόπως δὲ καὶ ἀπιθάνως τῇ γενεαλογίᾳ κέχρηται. Ἐσμὲν ἔρωτος] λείπει υἱοί. Καὶ τοῖσιν ἐρῶσι] Σύμμαχος διὰ τοὺς ἐραστὰς, ὄρνιθας εὐγενεῖς χαρίζεσθαι τοῖς ἐρωμένοις. Δίδυμος δὲ, ἐπεὶ ἡ σίττη καί ἐστι τοιοῦτον ὄρνεον δεξιὰ πρὸς ἔρωτας φαίνεται. ἐγὼ μὲν ὡς Λευκίππῳ, δεξιὴ σίττη. Πολλοὺς δὲ καλούς.] μετὰ τὴν νεότητα ἠναγκάσαμεν ἀκαίρως ἑταιρεῖν. ἀπομωμοκότας δὲ ἀποταξαμένους. διεμήρισαν δὲ συνουσίασαν. Ὁ μὲ